ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ μὲν Δ τοῦ Α, καὶ τὸ Ε τοῦ Β. ἴσον δὲ τὸ Α τῷ Β. ἴσον ἄρα καὶ τὸ Δ τῷ Ε. ἄλλο δὲ ὃ ἔτυχε τὸ Ζ. εἰ ἄρα ὑπερέχει τὸ Δ τοῦ Ζ, ὑπερέχει καὶ τὸ Ε τοῦ Ζ. καὶ εἰ ἴσον, ἴσον. καὶ εἰ ἔλαττον, ἔλαττον. καί ἐστι τὰ μὲν Δ Ε τῶν Α Β ἰσάκις πολλαπλάσια. τὸ δὲ Ζ τοῦ Γ ἄλλο ὃ ἔτυχε πολλαπλάσιον. ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Β πρὸς τὸ Γ. λέγω δὴ ὅτι καὶ τὸ Γ πρὸς ἑκάτερον τῶν Α Β τὸν αὐτὸν ἔχει λόγον. τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ὁμοίως δείξομεν ὅτι ἴσον ἐστὶ τὸ Δ τῷ Ε. ἄλλο δέ τι τὸ Ζ. εἰ ἄρα ὑπερέχει τὸ Ζ τοῦ Δ, ὑπερέχει καὶ τοῦ Ε. καὶ εἰ ἴσον, ἴσον. καὶ εἰ ἔλαττον, ἔλαττον. καί ἐστι τὸ μὲν Ζ τοῦ Γ πολλαπλάσιον. τὰ δὲ Δ Ε τῶν Α Β ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια. ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ Α, οὕτως τὸ Γ πρὸς τὸ Β. τὰ ἴσα ἄρα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον καὶ τὸ αὐτὸ πρὸς τὰ ἴσα. ὅπερ ἔδει δεῖξαι.



Τῶν ἀνίσων μεγεθῶν τὸ μεῖζον πρὸς τὸ αὐτὸ μείζονα λόγον ἔχει ἤπερ τὸ ἔλαττον. καὶ τὸ αὐτὸ πρὸς τὸ ἔλαττον μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ μεῖζον. ἔστω ἄνισα μεγέθη τὰ ΑΒ Γ. καὶ ἔστω μεῖζον τὸ ΑΒ τοῦ Γ. ἄλλο δὲ ὃ ἔτυχε τὸ Δ. λέγω ὅτι τὸ ΑΒ πρὸς τὸ Δ μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Δ. καὶ τὸ Δ πρὸς τὸ Γ μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ ΑΒ. ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ Γ, κείσθω τῷ Γ ἴσον τὸ ΒΕ. τὸ δὴ ἔλασσον τῶν ΑΕ ΕΒ πολλαπλασιαζόμενον ἔσται ποτὲ τοῦ Δ μεῖζον. ἔστω πρότερον τὸ ΑΕ ἔλαττον τοῦ ΕΒ. καὶ πεπολλαπλασιάσθω τὸ ΑΕ. ἕως οὗ τὸ γενόμενον μεῖζον γένηται τοῦ Δ. καὶ ἔστω αὐτοῦ πολλαπλάσιον τὸ ΖΗ μεῖζον ὂν τοῦ Δ. καὶ ὁσαπλάσιόν ἐστι τὸ ΖΗ τοῦ ΑΕ, τοσαυταπλάσιον γεγονέτω καὶ τὸ μὲν ΗΘ τοῦ ΕΒ καὶ τὸ Κ τοῦ Γ. καὶ εἰλήφθω τοῦ Δ διπλάσιον μὲν τὸ Λ. τριπλάσιον δὲ τὸ Μ. καὶ ἑξῆς ἑνὶ πλείους. ἕως ἂν τὸ λαμβανόμενον πολλαπλάσιον μὲν γένηται τοῦ Δ. πρώτως δὲ μεῖζον τοῦ Κ. εἰλήφθω καὶ ἔστω τὸ Ν τετραπλάσιον μὲν τοῦ Δ. πρώτως δὲ μεῖζον τοῦ Κ. ἐπεὶ οὖν τὸ Κ τοῦ Ν πρώτως ἐστὶν ἔλαττον. τὸ Κ ἄρα τοῦ Μ οὐκ ἔστιν ἔλαττον. καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ. καὶ τὸ ΘΗ τοῦ ΕΒ. ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ. καὶ τὸ ΖΘ τοῦ ΑΒ. ἰσάκις δέ ἐστι πολλαπλάσιον τὸ ΖΗ τοῦ ΑΕ. καὶ τὸ Κ τοῦ Γ. ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΖΘ τοῦ ΑΒ καὶ τὸ Κ τοῦ Γ. τὰ ΖΘ Κ ἄρα τῶν ΑΒ Γ ἰσάκις ἐστὶ πολλαπλάσια. πάλιν ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΗΘ τοῦ ΕΒ καὶ τὸ Κ τοῦ Γ. ἴσον δὲ τὸ ΕΒ τῷ Γ. ἴσον ἄρα καὶ τὸ ΗΘ τῷ Κ. τὸ δὲ Κ τοῦ Μ οὐκ ἔστιν ἔλαττον. οὐδ᾽ ἄρα τὸ ΗΘ τοῦ Μ ἔλαττόν ἐστιν. μεῖζον δὲ τὸ ΖΗ τοῦ Δ. ὅλον ἄρα τὸ ΖΘ συναμφοτέρων τῶν Δ Μ μεῖζόν ἐστιν. ἀλλὰ συναμφότερα τὰ Δ Μ τῷ Ν ἐστὶν ἴσα. ἐπειδήπερ τὸ Μ τοῦ Δ τριπλάσιόν ἐστιν. συναμφότερα τὰ Μ Δ τοῦ Δ ἐστὶ τετραπλάσια. ἔστι δὲ καὶ τὸ Ν τοῦ Δ τετραπλάσιον. συναμφότερα ἄρα τὰ Μ Δ τῷ Ν ἴσα ἐστίν. ἀλλὰ τὸ ΖΘ τῶν Μ Δ μεῖζόν ἐστι. τὸ ΖΘ ἄρα τοῦ Ν

κ

κα



BIBL. BODLEIANA